Ζηνὸς τελέ[σσαντος κρί]σιν
Σάρδιες Περσᾶ[ν ἁλίσκοντο στρ]ατῶι,
)— Κροῖσον ὁ χρυσά[ορος
Γ′ φύλαξ' Ἀπόλλων. [ὁ δ' ἐς] ἄελπτον ἆμαρ
μ[ο]λὼν πολυδ[άκρυο]ν οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν, πυ[ρ]ὰν δὲ
— χαλκ[ο]τειχέος π[ροπάροι]θεν αὐ[λᾶς
ναήσατ', ἔνθα σὺ[ν ἀλόχωι] τε κεδ[νᾶι
σὺν εὐπλοκάμοι[ς τ'] ἐπέβαιν' ἄλα[στον
θ]υ[γ]ατράσι δυρομέναις· χέρας δ' [ἐς
— αἰ]πὺν αἰθέρα σφετέρας ἀείρας
γέγω]νεν· „ὑπέρ[βι]ε δαῖμον,
πο]ῦ θεῶν ἐστιν χάρις;
πο]ῦ δὲ Λατοίδας ἄναξ;
ἔρρουσ]ιν Ἀλυά[τ]τα δόμοι
–∪–×–∪–×] μυρίων
)— –∪–×–∪–]ν.
Δ′ ×–∪∪∪×∪∪∪–∪] ἄστυ,
ἐρεύθεται αἵματι χρυσο]δίνας
col 8 (4) Πακτωλός, ἀεικελίως γυναῖκες
— ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·
τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον.“
τόσ' εἶπε, καὶ ἁβ[ρο]βάταν κ[έλε]υσεν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391258X/16 UNIVERSITÄT LEIPZIG